Ακαδημία Αθηνών / Academy of Athens

*ρά ... ἀπὸ δὲ τῆς ἀριστερᾶς εἰς τὰ ἀριστερὰ* 6.29-30 *αἱ μὲν ἐκ τῶν δεξιῶν εἰς τὰ ἀριστερά, αἱ δ' ἐκ τῶν ἀριστερῶν εἰς τὰ δεξιὰ* 6.47 *ἐκ τῶν δεξιῶν εἰς τὰ ἀριστερὰ καὶ ἐκ τούτων εἰς τὰ δεξιά.*

**ἄριστος** (ἀντίθ. *οἱ πολλοί*). Ἄριστος, best, Ἡράκλειτος 49 *εἷς ἐμοὶ μύριοι, ἐὰν ἄριστος ᾖ* 118 *αὔη ψυχὴ σοφωτάτη καὶ ἀρίστη* 29 *αἱρεῦνται γὰρ ἓν ἀντὶ ἁπάντων οἱ ἄριστοι, κλέος ἀέναον θνητῶν· οἱ δὲ πολλοὶ κεκόρηνται ὅκωσπερ κτήνεα.* ‖ **ἄριστον** *(ἐστί).* Ἄριστο (εἶναι) it is the best, Δημόκριτος 189 *ἄριστον ἀνθρώπῳ τὸν βίον διάγειν ὡς πλεῖστα εὐθυμηθέντι καὶ ἐλάχιστα ἀνιηθέντι.*

**ἀρκεῖσθαι.** Ἀρκοῦμαι/εἶμαι εὐχαριστημένος, be content, Δημόκριτος 191 *ἐπὶ τοῖς δυνατοῖς οὖν δεῖ ἔχειν τὴν γνώμην καὶ τοῖς παρεοῦσιν ἀρκέεσθαι.*

**ἄρκτος.** Ὁ ἀστερισμὸς τῆς Μεγάλης Ἄρκτου, the constellation of the Great Bear, Ἡράκλειτος 120 *ἠοῦς καὶ ἑσπέρας τέρματα ἡ ἄρκτος καὶ ἀντίον τῆς ἄρκτου οὖρος αἰθρίου Διός.*

**ἅρμα.** Ἅρμα, chariot, Παρμενίδης 1.5 *ἵπποι ἅρμα τιταίνουσαι* 1.21 *κατ' ἀμαξιτὸν ἅρμα καὶ ἵππους* Ἐμπεδοκλῆς 3.5 *εὐήνιον ἅρμα.*

**ἁρμόδιον** *(ἐστίν).* Ἁρμόζει/ταιριάζει, it is fitting, Δημόκριτος 187 *ἀνθρώποις ἁρμόδιον ψυχῆς μᾶλλον ἢ σώματος λόγον ποιεῖσθαι.* Πρβλ. *ἁρμόζειν.*

**ἁρμόζειν.** Συνταιριάζω, adjust/fit, Φιλόλαος 11.15 *νῦν δὲ οὗτος* (sc. *ὁ ἀριθμός*) *καττὰν ψυχὰν ἁρμόζων αἰσθήσει πάντα γνωστά.* ‖ **ἁρμόζεσθαι.** Συναρμόζομαι, be joined/linked, Ἐμπεδοκλῆς 107 *ἐκ τούτων <γὰρ> πάντα πεπήγασιν ἁρμοσθέντα* Φιλόλαος 1 *ἁ φύσις δ' ἐν τῷ κόσμῳ ἁρμόχθη ἐξ ἀπείρων τε καὶ περαινόντων* 7 *τὸ πρᾶτον ἁρμοσθέν, τὸ ἕν, ἐν τῷ μέσῳ τᾶς σφαίρας ἑστία καλεῖται.* Πρβλ. *ἁρμονία, συναρμόζειν, συναρμόζεσθαι.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ